Od.13.221 πόλλ᾽ ὀλοφυ̱ρόμενος. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Od.13.222 ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἐπιβώτορι μήλων,
Od.13.223 πα̱ναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔα̱σι,
Od.13.224 δίπτυχον ἀμφ᾽ ὤμοισιν ἔχουσ᾽ εὐεργέα λώπην·
Od.13.225 ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσι πέδι̱λ᾽ ἔχε, χερσὶ δ᾽ ἄκοντα.
Od.13.226 τὴν δ᾽ Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ ἐναντίος ἦλθε
Od.13.227 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδα̱·
Od.13.228 "ὦ φίλ᾽, ἐπεί σε πρῶτα κιχά̱νω τῷδ᾽ ἐνὶ χώρῳ,
Od.13.229 χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
Od.13.230 ἀλλὰ σάω μὲν ταῦτα, σάω δ᾽ ἐμέ· σοὶ γὰρ ἐγώ γε
Od.13.231 εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ᾽ ἱκά̱νω.
Od.13.232 καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐῢ εἰδῶ·
Od.13.233 τίς γῆ, τίς δῆμος, τίνες ἀ̱νέρες ἐγγεγάα̱σιν;
Od.13.234 ἤ πού τις νήσων εὐδείελος, ἦέ τις ἀκτὴ
Od.13.235 κεῖθ᾽ ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;"
Od.13.236 τὸν δ᾽ αὖτε προσέειπε θεὰ̱ γλαυκῶπις Ἀθήνη·
Od.13.237 "νήπιός εἰς, ὦ ξεῖν᾽, ἢ τηλόθεν εἰλήλουθας,
Od.13.238 εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι. οὐδέ τι λί̱ην
Od.13.239 οὕτω νώνυμός ἐστιν· ἴσα̱σι δέ μιν μάλα πολλοί,
Od.13.240 ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
Od.13.241 ἠδ᾽ ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
Od.13.242 ἦ τοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν
Od.13.243 οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ᾽ εὐρεῖα τέτυκται.
Od.13.244 ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
Od.13.245 γί̱νεται· αἰεὶ δ᾽ ὄμβρος ἔχει τεθαλυῖά τ᾽ ἐέρση.
Od.13.246 αἰγίβοτος δ᾽ ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕ̱λη
Od.13.247 παντοίη, ἐν δ᾽ ἀρδμοὶ ἐπηετανοὶ παρέα̱σι.
Od.13.248 τῶ τοι, ξεῖν᾽, Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ᾽ ἵ̱κει,
Od.13.249 τήν περ τηλοῦ φα̱σὶν Ἀχαιΐδος ἔμμεναι αἴης."
Od.13.250 ὣς φάτο, γήθησεν δὲ πολύτλα̱ς δῖος Ὀδυσσεὺς

Od.13.251 χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπε

Od.13.252 Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο·

Od.13.253 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδα̱· —

Od.13.254 οὐδ᾽ ὅ γ᾽ ἀληθέα εἶπε, πάλιν δ᾽ ὅ γε λάζετο μῦθον,

Od.13.255 αἰὲν ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν· —

Od.13.256 "πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,

Od.13.257 τηλοῦ ὑπὲρ πόντου· νῦν δ᾽ εἰλήλουθα καὶ αὐτὸς

Od.13.258 χρήμασι σὺν τοίσδεσσι· λιπὼν δ᾽ ἔτι παισὶ τοσαῦτα

Od.13.259 φεύγω, ἐπεὶ φίλον υἷα κατέκτανον Ἰ̱δομενῆος,

Od.13.260 Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ

Od.13.261 ἀ̱νέρας ἀλφηστὰ̱ς νί̱κα̱ ταχέεσσι πόδεσσιν,

Od.13.262 οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πά̱σης

Od.13.263 Τρωϊάδος, τῆς εἵνεκ᾽ ἐγὼ πάθον ἄλγεα θυ̱μῷ,

Od.13.264 ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύ̱ματα πείρων,

Od.13.265 οὕνεκ᾽ ἄρ᾽ οὐχ ᾧ πατρὶ χαριζόμενος θεράπευον

Od.13.266 δήμῳ ἔνι Τρώων, ἀλλ᾽ ἄλλων ἦρχον ἑταίρων.

Od.13.267 τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ

Od.13.268 ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·

Od.13.269 νὺξ δὲ μάλα δνοφερὴ κάτεχ᾽ οὐρανόν, οὐδέ τις ἥμε̱α̱ς

Od.13.270 ἀνθρώπων ἐνόησε, λάθον δέ ἑ θυ̱μὸν ἀπούρα̱ς.

Od.13.271 αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,

Od.13.272 αὐτίκ᾽ ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνι̱κας ἀγαυοὺς

Od.13.273 ἐλλισάμην καί σφιν μενοεικέα ληΐδα δῶκα·

Od.13.274 τούς μ᾽ ἐκέλευσα Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι

Od.13.275 ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.

Od.13.276 ἀλλ᾽ ἦ τοί σφε̱α̱ς κεῖθεν ἀπώσατο ἰ̱̂ς ἀνέμοιο

Od.13.277 πόλλ᾽ ἀεκαζομένους, οὐδ᾽ ἤθελον ἐξαπατῆσαι.

Od.13.278 κεῖθεν δὲ πλαγχθέντες ἱκά̱νομεν ἐνθάδε νυκτός.

Od.13.279 σπουδῇ δ᾽ ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἥμι̱ν

Od.13.280 δόρπου μνῆστις ἔην μάλα περ χατέουσιν ἑλέσθαι,

Od.13.281 ἀλλ᾽ αὔτως ἀποβάντες ἐκείμεθα νηὸς ἅπαντες.
Od.13.282 ἔνθ᾽ ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπέλλαβε κεκμηῶτα,
Od.13.283 οἱ δὲ χρήματ᾽ ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες
Od.13.284 κάτθεσαν, ἔνθά περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
Od.13.285 οἱ δ᾽ ἐς Σι̱δονίην εὖ ναιομένην ἀναβάντες
Od.13.286 ᾤχοντ᾽· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ."
Od.13.287 ὣς φάτο, μείδησεν δὲ θεὰ̱ γλαυκῶπις Ἀθήνη,
Od.13.288 χειρί τέ μιν κατέρεξε· δέμας δ᾽ ἤϊκτο γυναικὶ
Od.13.289 κα̱λῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργα ἰδυίῃ·
Od.13.290 καί μιν φωνήσα̱σ᾽ ἔπεα πτερόεντα προσηύδα̱·
Od.13.291 "κερδαλέος κ᾽ εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι̱
Od.13.292 ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
Od.13.293 σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ᾽, οὐκ ἄρ᾽ ἔμελλες,
Od.13.294 οὐδ᾽ ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατά̱ων
Od.13.295 μύ̱θων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
Od.14.185 ἀλλ᾽ ἄγε μοι σύ, γεραιέ, τὰ σ᾽ αὐτοῦ κήδε᾽ ἐνίσπες
Od.14.186 καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐῢ εἰδῶ·
Od.14.187 τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Od.14.188 ὁπποίης τ᾽ ἐπὶ νηὸς ἀφί̱κεο; πῶς δέ σε ναῦται
Od.14.189 ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Od.14.190 οὐ μὲν γάρ τί σε πεζὸν ὀΐ̱ομαι ἐνθάδ᾽ ἱκέσθαι."
Od.14.191 τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.14.192 "τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
Od.14.193 εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ
Od.14.194 ἠδὲ μέθυ γλυκερὸν κλισίης ἔντοσθεν ἐοῦσι
Od.14.195 δαίνυσθαι ἀκέοντ᾽, ἄλλοι δ᾽ ἐπὶ ἔργον ἕποιεν·
Od.14.196 ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
Od.14.197 οὔ τι διαπρήξαιμι λέγων ἐμὰ κήδεα θυ̱μοῦ,
Od.14.198 ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Od.14.199 ἐκ μὲν Κρητά̱ων γένος εὔχομαι εὐρειά̱ων,

Od.14.200 ἀ̱νέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι
Od.14.201 υἷες ἐνὶ μεγάρῳ ἠμὲν τράφον ἠδ᾽ ἐγένοντο
Od.14.202 γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ᾽ ὠνητὴ τέκε μήτηρ
Od.14.203 παλλακίς, ἀλλά με ἶσον ἰθαιγενέεσσιν ἐτί̱μα̱
Od.14.204 Κάστωρ Ὑ̱λακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι·
Od.14.205 ὃς τότ᾽ ἐνὶ Κρήτεσσι θεὸς ὣς τί̱ετο δήμῳ
Od.14.206 ὄλβῳ τε πλούτῳ τε καὶ υἱάσι κυ̱δαλίμοισιν.
Od.14.207 ἀλλ᾽ ἦ τοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι
Od.14.208 εἰς Ἀΐδα̱ο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
Od.14.209 παῖδες ὑπέρθυ̱μοι καὶ ἐπὶ κλήρους ἐβάλοντο,
Od.14.210 αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν καὶ οἰκί᾽ ἔνειμαν.
Od.14.211 ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων
Od.14.212 εἵνεκ᾽ ἐμῆς ἀρετῆς. ἐπεὶ οὐκ ἀποφώλιος ἦα
Od.14.213 οὐδὲ φυγοπτόλεμος· νῦν δ᾽ ἤδη πάντα λέλοιπεν·
Od.14.214 ἀλλ᾽ ἔμπης καλάμην γέ σ᾽ ὀΐ̱ομαι εἰσορόωντα
Od.14.215 γι̱νώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
Od.14.216 ἦ μὲν δὴ θάρσός μοι Ἄρης τ᾽ ἔδοσαν καὶ Ἀθήνη
Od.14.217 καὶ ῥηξηνορίην· ὁπότε κρί̱νοιμι λόχονδε
Od.14.218 ἄνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,
Od.14.219 οὔ ποτέ μοι θάνατον προτιόσσετο θυ̱μὸς ἀγήνωρ,
Od.14.220 ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἕλεσκον
Od.14.221 ἀνδρῶν δυσμενέων ὅ τέ μοι εἴξειε πόδεσσι.
Od.14.222 τοῖος ἔα̱ ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν
Od.14.223 οὐδ᾽ οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα,
Od.14.224 ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
Od.14.225 καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεστοι καὶ ὀϊστοί,
Od.14.226 λυγρά, τά τ᾽ ἄλλοισίν γε καταρρι̱γηλὰ πέλονται.
Od.14.227 αὐτὰρ ἐμοὶ τὰ φίλ᾽ ἔσκε, τά που θεὸς ἐν φρεσὶ θῆκεν·
Od.14.228 ἄλλος γάρ τ᾽ ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
Od.14.229 πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν

Od.14.230 εἰνάκις ἀνδράσιν ἦρξα καὶ ὠκυπόροισι νέεσσιν
Od.14.231 ἄνδρας ἐς ἀλλοδαπούς, καί μοι μάλα τύγχανε πολλά.
Od.14.232 τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ´ ὀπίσσω
Od.14.233 λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
Od.14.234 δεινός τ´ αἰδοῖός τε μετὰ Κρήτεσσι τετύγμην.
Od.14.235 ἀλλ´ ὅτε δὴ τήν γε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Od.14.236 ἐφράσαθ´, ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ´ ἔλυ̲σε,
Od.14.237 δὴ τότ´ ἔμ´ ἤνωγον καὶ ἀγακλυτὸν Ἰ̲δομενῆα
Od.14.238 νήεσσ´ ἡγήσασθαι ἐς Ἴ̲λιον· οὐδέ τι μῆχος
Od.14.239 ἦεν ἀνήνασθαι, χαλεπὴ δ´ ἔχε δήμου φῆμις.
Od.14.240 ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
Od.14.241 τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
Od.14.242 οἴκαδε σὺν νήεσσι, θεὸς δ´ ἐκέδασσεν Ἀχαιούς.
Od.14.243 αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
Od.14.244 μῆνα γὰρ οἶον ἔμεινα τεταρπόμενος τεκέεσσι
Od.14.245 κουριδίῃ τ´ ἀλόχῳ καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Od.14.246 Αἴγυπτόνδε με θυ̲μὸς ἀνώγει ναυτίλλεσθαι,
Od.14.247 νῆας ἐῢ στείλαντα, σὺν ἀντιθέοισ´ ἑτάροισιν.
Od.14.248 ἐννέα νῆας στεῖλα, θοῶς δ´ ἐσαγείρετο λα̲ός.
Od.14.249 ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
Od.14.250 δαίνυντ´· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον
Od.14.251 θε̲ο̲ῖσίν τε ῥέζειν αὐτοῖσί τε δαῖτα πένεσθαι.
Od.14.252 ἑβδομάτῃ δ´ ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
Od.14.253 ἐπλέομεν βορέῃ ἀνέμῳ ἀκρα̲έϊ κα̲λῷ
Od.14.254 ῥηϊδίως, ὡς εἴ τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
Od.14.255 νηῶν πημάνθη, ἀλλ´ ἀσκηθέ̲ε̲ς καὶ ἄνουσοι
Od.14.256 ἥμεθα, τὰ̲ς δ´ ἄνεμός τε κυβερνῆταί τ´ ἴ̲θυ̲νον.
Od.14.257 πεμπταῖοι δ´ Αἴγυπτον ἐϋρρείτην ἱκόμεσθα,
Od.14.258 στῆσα δ´ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσα̲ς.
Od.14.259 ἔνθ´ ἦ τοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους

Od.14.260 αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
Od.14.261 ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
Od.14.262 οἱ δ᾽ ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
Od.14.263 αἶψα μάλ᾽ Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Od.14.264 πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
Od.14.265 αὐτούς τ᾽ ἔκτεινον· τάχα δ᾽ ἐς πόλιν ἵκετ᾽ ἀϋτή.
Od.14.266 οἱ δὲ βοῆς ἀΐοντες ἅμ᾽ ἠόϊ φαινομένηφι
Od.14.267 ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
Od.14.268 χαλκοῦ τε στεροπῆς. ἐν δὲ Ζεὺς τερπικέραυνος
Od.14.269 φύζαν ἐμοῖσ᾽ ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
Od.14.270 μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Od.14.271 ἔνθ᾽ ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Od.14.272 τοὺς δ᾽ ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Od.14.273 αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶν ὧδε νόημα
Od.14.274 ποίησ᾽· —ὡς ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Od.14.275 αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ᾽ ὑπέδεκτο· —
Od.14.276 αὐτίκ᾽ ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα
Od.14.277 καὶ σάκος ὤμοιϊν, δόρυ δ᾽ ἔκβαλον ἔκτοσε χειρός·
Od.14.278 αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων
Od.14.279 καὶ κύσα γούναθ᾽ ἑλών· ὁ δ᾽ ἐρύσατο καί μ᾽ ἐλέησεν,
Od.14.280 ἐς δίφρον δέ μ᾽ ἕσας ἄγεν οἴκαδε δάκρυ χέοντα.
Od.14.281 ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
Od.14.282 ἱέμενοι κτεῖναι· δὴ γὰρ κεχολώατο λίην·
Od.14.283 ἀλλ᾽ ἀπὸ κεῖνος ἔρυκε, Διὸς δ᾽ ὠπίζετο μῆνιν
Od.14.284 ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
Od.14.285 ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ᾽ ἄγειρα
Od.14.286 χρήματ᾽ ἀν᾽ Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
Od.14.287 ἀλλ᾽ ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Od.14.288 δὴ τότε Φοῖνιξ ἦλθεν ἀνὴρ ἀπατήλια εἰδώς,
Od.14.289 τρώκτης, ὃς δὴ πολλὰ κάκ᾽ ἀνθρώπους ἐεόργει·

Od.14.290 ὅς μ´ ἄγε παρπεπιθὼν ᾗσι φρεσίν, ὄφρ´ ἱκόμεσθα
Od.14.291 Φοινί̱κην, ὅθι τοῦ γε δόμοι καὶ κτήματ´ ἔκειτο.
Od.14.292 ἔνθα παρ´ αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν.
Od.14.293 ἀλλ´ ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο
Od.14.294 ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
Od.14.295 ἐς Λιβύην μ´ ἐπὶ νηὸς ἐφέσσατο ποντοπόροιο,
Od.14.296 ψεύδεα βουλεύσα̱ς, ἵνα οἱ σὺν φόρτον ἄγοιμι,
Od.14.297 κεῖθι δέ μ´ ὡς περάσειε καὶ ἄσπετον ὦνον ἕλοιτο.
Od.14.298 τῷ ἑπόμην ἐπὶ νηός, ὀ̱ϊόμενός περ, ἀνάγκῃ.
Od.14.299 ἡ δ´ ἔθεεν βορέῃ ἀνέμῳ ἀκρα̱έϊ κα̱λῷ
Od.14.300 μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφισι μήδετ´ ὄλεθρον.
Od.14.301 ἀλλ´ ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
Od.14.302 φαίνετο γαιά̱ων, ἀλλ´ οὐρανὸς ἠδὲ θάλασσα,
Od.14.303 δὴ τότε κυ̱ανέην νεφέλην ἔστησε Κρονί̱ων
Od.14.304 νηὸς ὕπερ γλαφυρῆς, ἤχλυ̱σε δὲ πόντος ὑπ´ αὐτῆς.
Od.14.305 Ζεὺς δ´ ἄμυδις βρόντησε καὶ ἔμβαλε νηῒ κεραυνόν·
Od.14.306 ἡ δ´ ἐλελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
Od.14.307 ἐν δὲ θεείου πλῆτο· πέσον δ´ ἐκ νηὸς ἅπαντες.
Od.14.308 οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
Od.14.309 κύ̱μασιν ἐμφορέοντο· θεὸς δ´ ἀποαίνυτο νόστον.
Od.14.310 αὐτὰρ ἐμοὶ Ζεὺς αὐτός, ἔχοντί περ ἄλγεα θυ̱μῷ,
Od.14.311 ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
Od.14.312 ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
Od.14.313 τῷ ῥα περιπλεχθεὶς φερόμην ὀλοοῖσ´ ἀνέμοισιν.
Od.14.314 ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
Od.14.315 γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
Od.14.316 ἔνθά με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
Od.14.317 ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
Od.14.318 αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
Od.14.319 χειρὸς ἀναστήσα̱ς, ὄφρ´ ἵ̱κετο δώματα πατρός·

Od.14.320 ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσεν.
Od.14.321 ἔνθ᾽ Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
Od.14.322 ξεινίσαι ἠδὲ φιλῆσαι ἰόντ᾽ ἐς πατρίδα γαῖαν,
Od.14.323 καί μοι κτήματ᾽ ἔδειξεν, ὅσα ξυναγείρατ᾽ Ὀδυσσεύς,
Od.14.324 χαλκόν τε χρυ̱σόν τε πολύκμητόν τε σίδηρον.
Od.14.325 καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ᾽ ἔτι βόσκοι·
Od.14.326 τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Od.14.327 τὸν δ᾽ ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
Od.14.328 ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
Od.14.329 ὅππως νοστήσει᾽ Ἰθάκης ἐς πί̱ονα δῆμον,
Od.14.330 ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
Od.14.331 ὤμοσε δὲ πρὸς ἔμ᾽ αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Od.14.332 νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
Od.14.333 οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Od.14.334 ἀλλ᾽ ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Od.14.335 ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυ̱ρον.
Od.14.336 ἔνθ᾽ ὅ γέ μ᾽ ἠνώγει πέμψαι̱ βασιλῆϊ Ἀκάστῳ
Od.14.337 ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἥνδανε βουλὴ
Od.14.338 ἀμφ᾽ ἐμοί, ὄφρ᾽ ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
Od.14.339 ἀλλ᾽ ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
Od.14.340 αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο.
Od.14.341 ἐκ μέν με χλαῖνάν τε χιτῶνά τε εἵματ᾽ ἔδυ̱σαν,
Od.14.342 ἀμφὶ δέ με ῥάκος ἄλλο κακὸν βάλον ἠδὲ χιτῶνα,
Od.14.343 ῥωγαλέα̱, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι.
Od.14.344 ἑσπέριοι δ᾽ Ἰθάκης εὐδειέλου ἔργ᾽ ἀφίκοντο.
Od.14.345 ἔνθ᾽ ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηῒ
Od.14.346 ὅπλῳ ἐϋστρεφέϊ στερεῶς, αὐτοὶ δ᾽ ἀποβάντες
Od.14.347 ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
Od.14.348 αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
Od.14.349 ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψα̱ς,

Od.14.350 ξεστὸν ἐφόλκαιον καταβὰ̱ς ἐπέλασσα θαλάσσῃ
Od.14.351 στῆθος, ἔπειτα δὲ χερσὶ διήρεσα ἀμφοτέρῃσι
Od.14.352 νηχόμενος, μάλα δ᾽ ὦκα θύρηθ᾽ ἔα ἀμφὶς ἐκείνων.
Od.14.353 ἔνθ᾽ ἀναβά̱ς, ὅθι τε δρίος ἦν πολυανθέος ὕ̱λης,
Od.14.354 κείμην πεπτηώς. οἱ δὲ μεγάλα στενάχοντες
Od.14.355 φοίτων· ἀλλ᾽ οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
Od.14.356 μαίεσθαι προτέρω, τοὶ μὲν πάλιν αὖτις ἔβαινον
Od.14.357 νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ᾽ ἔκρυψαν θεοὶ αὐτοὶ
Od.14.358 ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
Od.14.359 ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι."
Od.14.470 ἡγείσθην δ᾽ Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Μενέλα̱ος,
Od.14.471 τοῖσι δ᾽ ἅμα τρίτος ἦρχον ἐγών· αὐτοὶ γὰρ ἄνωγον.
Od.14.472 ἀλλ᾽ ὅτε δή ῥ᾽ ἱκόμεσθα ποτὶ πτόλιν αἰπύ τε τεῖχος,
Od.14.473 ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνά,
Od.14.474 ἂν δόνακας καὶ ἕλος, ὑπὸ τεύχεσι πεπτηῶτες
Od.14.475 κείμεθα, νὺξ δ᾽ ἄρ᾽ ἐπῆλθε κακὴ Βορέα̱ο πεσόντος,
Od.14.476 πηγυλίς· αὐτὰρ ὕπερθε χιὼν γένετ᾽ ἠΰτε πάχνη,
Od.14.477 ψυ̱χρή, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
Od.14.478 ἔνθ᾽ ἄλλοι πάντες χλαίνα̱ς ἔχον ἠδὲ χιτῶνας,
Od.14.479 εὗδον δ᾽ εὔκηλοι, σάκεσιν εἰλυ̱μένοι ὤμους·
Od.14.480 αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
Od.14.481 ἀφραδέως, ἐπεὶ οὐκ ἐφάμην ῥι̱γωσέμεν ἔμπης,
Od.14.482 ἀλλ᾽ ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
Od.14.483 ἀλλ᾽ ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ᾽ ἄστρα βεβήκει,
Od.14.484 καὶ τότ᾽ ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα
Od.14.485 ἀγκῶνι νύξα̱ς· ὁ δ᾽ ἄρ᾽ ἐμμαπέως ὑπάκουσε·
Od.14.486 ‘δι̱ογενὲς Λα̱ερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Od.14.487 οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
Od.14.488 δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ᾽ ἤπαφε δαίμων
Od.14.489 οἰ̱οχίτων᾽ ἴμεναι· νῦν δ᾽ οὐκέτι φυκτὰ πέλονται.’

Od.14.490 ὣς ἐφάμην, ὁ δ´ ἔπειτα νόον σχέθε τόνδ´ ἐνὶ θυ̱μῷ,

Od.14.491 οἷος κεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι·

Od.14.492 φθεγξάμενος δ´ ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·

Od.14.493 ‘σί̱γα̱ νῦν, μή τίς σευ Ἀχαιῶν ἄλλος ἀκούσῃ.’

Od.14.494 ἦ, καὶ ἐπ´ ἀγκῶνος κεφαλὴν σχέθεν εἶπέ τε μῦθον·

Od.14.495 ‘κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

Od.14.496 λί̱ην γὰρ νηῶν ἑκὰς ἤλθομεν. ἀλλά τις εἴη

Od.14.497 εἰπεῖν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λα̱ῶν,

Od.14.498 εἰ πλέονα̱ς παρὰ ναῦφιν ἐποτρύ̱νειε νέεσθαι.’

Od.14.499 ὣς ἔφατ´, ὦρτο δ´ ἔπειτα Θόα̱ς, Ἀνδραίμονος υἱός,

Od.14.500 καρπαλίμως, ἀπὸ δὲ χλαῖναν βάλε φοινι̱κόε̱σσαν,

Od.14.501 βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ´ ἐνὶ εἵματι κείνου

Od.14.502 κείμην ἀσπασίως, φάε δὲ χρυ̱σόθρονος Ἠώς.

Od.17.415 "δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν

Od.17.416 ἔμμεναι, ἀλλ´ ὤριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.

Od.17.417 τῶ σε χρὴ δόμεναι καὶ λώϊον ἠέ περ ἄλλοι

Od.17.418 σί̱του· ἐγὼ δέ κέ σε κλείω κατ´ ἀπείρονα γαῖαν.

Od.17.419 καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον

Od.17.420 ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτῃ

Od.17.421 τοίῳ, ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι̱·

Od.17.422 ἦσαν δὲ δμῶες μάλα μυ̱ρίοι ἄλλά τε πολλά,

Od.17.423 οἷσίν τ´ εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.

Od.17.424 ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονί̱ων· —ἤθελε γάρ που· —

Od.17.425 ὅς μ´ ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν

Od.17.426 Αἴγυπτόνδ´ ἰέναι, δολιχὴν ὁδόν, ὄφρ´ ἀπολοίμην.

Od.17.427 στῆσα δ´ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσα̱ς.

Od.17.428 ἔνθ´ ἦ τοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους

Od.17.429 αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,

Od.17.430 ὀπτῆρας δὲ κατὰ σκοπιὰ̱ς ὤτρυ̱να νέεσθαι.

Od.17.431 οἱ δ´ ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,

Od.17.432 αἶψα μάλ᾽ Αἰγυ̣πτίων ἀνδρῶν περικαλλέας ἀγροὺς

Od.17.433 πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα

Od.17.434 αὐτούς τ᾽ ἔκτεινον· τάχα δ᾽ ἐς πόλιν ἵ̱κετ᾽ ἀῢ̱τή.

Od.17.435 οἱ δὲ βοῆς ἀΐοντες ἅμ᾽ ἠόϊ φαινομένηφι

Od.17.436 ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων

Od.17.437 χαλκοῦ τε στεροπῆς. ἐν δὲ Ζεὺς τερπικέραυνος

Od.17.438 φύζαν ἐμοῖσ᾽ ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη

Od.17.439 στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.

Od.17.440 ἔνθ᾽ ἡμέ̱ω̱ν πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,

Od.17.441 τοὺς δ᾽ ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.

Od.17.442 αὐτὰρ ἔμ᾽ ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,

Od.17.443 Δμήτορι Ἰ̱ασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν.

Od.19.165 "ὦ γύναι αἰδοίη Λα̱ερτιάδε̱ω̱ Ὀδυσῆος,

Od.19.166 οὐκέτ᾽ ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;

Od.19.167 ἀλλ᾽ ἔκ τοι ἐρέω. ἦ μέν μ᾽ ἀχέεσσί γε δώσεις

Od.19.168 πλείοσιν ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης

Od.19.169 ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,

Od.19.170 πολλὰ βροτῶν ἐπὶ ἄστε᾽ ἀλώμενος, ἄλγεα πάσχων.

Od.19.171 ἀλλὰ καὶ ὧς ἐρέω ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς.

Od.19.172 Κρήτη τις γαῖ᾽ ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ,

Od.19.173 κα̱λὴ καὶ πι̱ίειρα, περίρρυτος· ἐν δ᾽ ἄνθρωποι

Od.19.174 πολλοὶ ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες· —

Od.19.175 ἄλλη δ᾽ ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,

Od.19.176 ἐν δ᾽ Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες

Od.19.177 Δωριέες τε τριχά̱ϊκες δῖοί τε Πελασγοί· —

Od.19.178 τῇσι δ᾽ ἐνὶ Κνωσός, μεγάλη πόλις, ἔνθά τε Μί̱νως

Od.19.179 ἐννέ̱ω̱ρος βασίλευε Διὸς μεγάλου ὀαριστής,

Od.19.180 πατρὸς ἐμοῖο πατήρ, μεγαθύ̱μου Δευκαλίωνος.

Od.19.181 Δευκαλίων δ᾽ ἐμὲ τίκτε καὶ Ἰ̱δομενῆα ἄνακτα·

Od.19.182 ἀλλ᾽ ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴ̱λιον εἴσω

Od.19.183 ᾤχεθ᾽ ἅμ᾽ Ἀτρεΐδῃσιν· ἐμοὶ δ᾽ ὄνομα κλυτὸν Αἴθων,
Od.19.184 ὁπλότερος γενεῇ· ὁ δ᾽ ἅμα πρότερος καὶ ἀρείων.
Od.19.185 ἔνθ᾽ Ὀδυσῆα ἐγὼν ἰδόμην καὶ ξείνια δῶκα.
Od.19.186 καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲ̱ς ἀνέμοιο
Od.19.187 ἱ̱έμενον Τροίηνδε, παραπλάγξα̱σα Μαλειῶν·
Od.19.188 στῆσε δ᾽ ἐν Ἀμνι̱σῷ, ὅθι τε σπέος Εἰλειθυ̱ίης,
Od.19.189 ἐν λιμέσιν χαλεποῖσι, μόγις δ᾽ ὑπάλυξεν ἀέλλας.
Od.19.190 αὐτίκα δ᾽ Ἰ̱δομενῆα μετάλλα̱ ἄστυδ᾽ ἀνελθών·
Od.19.191 ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ᾽ ἔμεν αἰδοῖόν τε.
Od.19.192 τῷ δ᾽ ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
Od.19.193 οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴ̱λιον εἴσω.
Od.19.194 τὸν μὲν ἐγὼ πρὸς δώματ᾽ ἄγων ἐῢ ἐξείνισσα,
Od.19.195 ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
Od.19.196 καί οἱ τοῖς ἄλλοισ᾽ ἑτάροισ᾽, οἳ ἅμ᾽ αὐτῷ ἕποντο,
Od.19.197 δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρα̱ς
Od.19.198 καὶ βοῦς ἱ̱ρεύσασθαι, ἵνα πλησαίατο θυ̱μόν.
Od.19.199 ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
Od.19.200 εἶλει γὰρ βορέης ἄνεμος μέγας οὐδ᾽ ἐπὶ γαίῃ
Od.19.201 εἴα̱ ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων·
Od.19.202 τῇ τρεισκαιδεκάτῃ δ᾽ ἄνεμος πέσε, τοὶ δ᾽ ἀνάγοντο."
Od.19.203 ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
Od.19.204 τῆς δ᾽ ἄρ᾽ ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς.
Od.19.205 ὡς δὲ χιὼν κατατήκετ᾽ ἐν ἀκροπόλοισιν ὄρεσσιν,
Od.19.206 ἥν τ᾽ εὖρος κατέτηξεν, ἐπὴν ζέφυρος καταχεύῃ,
Od.19.207 τηκομένης δ᾽ ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
Od.19.208 ὣς τῆς τήκετο κα̱λὰ παρήϊα δάκρυ χεούσης,
Od.19.209 κλαιούσης ἑὸν ἄνδρα, παρήμενον. αὐτὰρ Ὀδυσσεὺς
Od.19.210 θυ̱μῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
Od.19.211 ὀφθαλμοὶ δ᾽ ὡς εἰ κέρα ἕστασαν ἠὲ σίδηρος
Od.19.212 ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ᾽ ὅ γε δάκρυα κεῦθεν.

Od.19.213 ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρῡ́τοιο γόοιο,
Od.19.214 ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
Od.19.215 "νῦν μὲν δή σευ ξεῖνέ γ᾽ ὀΐ̱ω πειρήσεσθαι,
Od.19.216 εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοισ᾽ ἑτάροισι
Od.19.217 ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
Od.19.218 εἰπέ μοι, ὁπποῖ᾽ ἄσσα περὶ χροῒ εἵματα ἕστο,
Od.19.219 αὐτός θ᾽ οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο."
Od.19.220 τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.19.221 "ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
Od.19.222 εἰπεῖν· ἤδη γὰρ τόδ᾽ ἐεικοστὸν ἔτος ἐστίν,
Od.19.223 ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
Od.19.224 αὐτάρ τοι ἐρέω, ὥς μοι ἰνδάλλεται ἦτορ.
Od.19.225 χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεύς,
Od.19.226 διπλῆν· ἐν δ᾽ ἄρα οἱ περόνη χρυ̱σοῖο τέτυκτο
Od.19.227 αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
Od.19.228 ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν,
Od.19.229 ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
Od.19.230 ὡς οἱ χρῡ́σε̱ο̱ι ἐόντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
Od.19.231 αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἤσπαιρε πόδεσσι.
Od.19.232 τὸν δὲ χιτῶν᾽ ἐνόησα περὶ χροῒ σι̱γαλόεντα,
Od.19.233 οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο·
Od.19.234 τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ᾽ ἦν ἠέλιος ὥς.
Od.19.235 ἦ μὲν πολλαί γ᾽ αὐτὸν ἐθηήσαντο γυναῖκες.
Od.19.236 ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Od.19.237 οὐκ οἶδ᾽, ἢ τάδε ἕστο περὶ χροῒ οἴκοθ᾽ Ὀδυσσεύς,
Od.19.238 ἦ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι
Od.19.239 ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
Od.19.240 ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
Od.19.241 καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
Od.19.242 κα̱λὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,

Od.19.243 αἰδοίως δ´ ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
Od.19.244 καὶ μὲ̱ν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
Od.19.245 εἵπετο· καὶ τόν τοι μυ̱θήσομαι, οἷος ἔην περ·
Od.19.246 γυ̱ρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος,
Od.19.247 Εὐρυβάτης δ´ ὄνομ´ ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
Od.19.248 ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη."
Od.19.249 ὣς φάτο, τῇ δ´ ἔτι μᾶλλον ὑφ´ ἵ̱μερον ὦρσε γόοιο
Od.19.250 σήματ´ ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ´ Ὀδυσσεύς.
Od.19.251 ἡ δ´ ἐπεὶ οὖν τάρφθη πολυδακρύ̱τοιο γόοιο,
Od.19.252 καὶ τότε μιν μύ̱θοισιν ἀμειβομένη προσέειπε·
Od.19.253 "νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινός,
Od.19.254 ἐν μεγάροισιν ἐμοῖσι φίλος τ´ ἔσῃ αἰδοῖός τε·
Od.19.255 αὐτὴ γὰρ τάδε εἵματ´ ἐγὼ πόρον, οἷ´ ἀγορεύεις,
Od.19.256 πτύξα̱σ´ ἐκ θαλάμου, περόνην τ´ ἐπέθηκα φαεινὴν
Od.19.257 κείνῳ ἄγαλμ´ ἔμεναι. τὸν δ´ οὐχ ὑποδέξομαι αὖτις
Od.19.258 οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
Od.19.259 τῶ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
Od.19.260 ᾤχετ´ ἐποψόμενος Κακοΐ̱λιον οὐκ ὀνομαστήν."
Od.19.261 τὴν δ´ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.19.262 "ὦ γύναι αἰδοίη Λα̱ερτιάδε̱ω̱ Ὀδυσῆος,
Od.19.263 μηκέτι νῦν χρόα κα̱λὸν ἐναίρεο μηδέ τι θυ̱μὸν
Od.19.264 τῆκε πόσιν γοόωσα. νεμεσσῶμαί γε μὲν οὐδέν·
Od.19.265 καὶ γάρ τίς τ´ ἀλλοῖον ὀδύ̱ρεται ἄνδρ´ ὀλέσα̱σα
Od.19.266 κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
Od.19.267 ἢ Ὀδυσῆ´, ὅν φα̱σι θεοῖσ´ ἐναλίγκιον εἶναι.
Od.19.268 ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
Od.19.269 νημερτέ̱ω̱ς γάρ τοι μυ̱θήσομαι οὐδ´ ἐπικεύσω,
Od.19.270 ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
Od.19.271 ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πι̱όνι δήμῳ,
Od.19.272 ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλά,

Od.19.273 αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
Od.19.274 ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ οἴνοπι πόντῳ,
Od.19.275 Θρι̱νακίης ἄπο νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Od.19.276 Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
Od.19.277 οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
Od.19.278 τὸν δ΄ ἄρ΄ ἐπὶ τρόπιος νηὸς βάλε κῦμ΄ ἐπὶ χέρσου,
Od.19.279 Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάα̱σιν·
Od.19.280 οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τι̱μήσαντο
Od.19.281 καί οἱ πολλὰ δόσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
Od.19.282 οἴκαδ΄ ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ΄ Ὀδυσσεὺς
Od.19.283 ἤην· ἀλλ΄ ἄρα οἱ τό γε κέρδιον εἴσατο θυ̱μῷ,
Od.19.284 χρήματ΄ ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
Od.19.285 ὣς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
Od.19.286 οἶδ΄ Ὀδυσεύς, οὐδ΄ ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
Od.19.287 ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυ̱θήσατο Φείδων·
Od.19.288 ὤμνυε δὲ πρὸς ἔμ΄ αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Od.19.289 νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
Od.19.290 οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Od.19.291 ἀλλ΄ ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Od.19.292 ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυ̱ρον.
Od.19.293 καί μοι κτήματ΄ ἔδειξεν, ὅσα ξυναγείρατ΄ Ὀδυσσεύς·
Od.19.294 καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ΄ ἔτι βόσκοι·
Od.19.295 τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Od.19.296 τὸν δ΄ ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
Od.19.297 ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
Od.19.298 ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
Od.19.299 ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
Od.19.300 ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
Od.19.301 ἄγχι μάλ΄, οὐδ΄ ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
Od.19.302 δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.

Od.19.303 ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,

Od.19.304 ἱστί̱η τ΄ Ὀδυσῆος ἀμύ̱μονος, ἣν ἀφικά̱νω·

Od.19.305 ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.

Od.19.306 τοῦδ΄ αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ΄ Ὀδυσσεύς,

Od.19.307 τοῦ μὲν φθί̱νοντος μηνός, τοῦ δ΄ ἱσταμένοιο."

Od.24.303 "τοιγὰρ ἐγώ τοι πάντα μάλ΄ ἀτρεκέως καταλέξω.

Od.24.304 εἰμὶ μὲν ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,

Od.24.305 υἱὸς Ἀφείδαντος Πολυπημονίδα̱ο ἄνακτος·

Od.24.306 αὐτὰρ ἐμοί γ΄ ὄνομ΄ ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων

Od.24.307 πλάγξ΄ ἀπὸ Σι̱κανίης δεῦρ΄ ἐλθέμεν οὐκ ἐθέλοντα·

Od.24.308 νηῦς δέ μοι ἥδ΄ ἕστηκεν ἐπ΄ ἀγροῦ νόσφι πόληος.

Od.24.309 αὐτὰρ Ὀδυσσῆϊ̱ τόδε δὴ πέμπτον ἔτος ἐστίν,

Od.24.310 ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης,

Od.24.311 δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνι̱θες ἰόντι,

Od.24.312 δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,

Od.24.313 χαῖρε δὲ κεῖνος ἰών· θυ̱μὸς δ΄ ἔτι νῶϊν ἐώλπει

Od.24.314 μείξεσθαι ξενίῃ ἠδ΄ ἀγλαὰ δῶρα διδώσειν."